**ἀδιάφορος / adiaphoros (-foros), indifferens**

*in fine versus*

**1.** Hephaest. 14. 15 sqq. ([Hom.] *Il.* II 1 sq.) Παντὸς μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή, ὥστε δύνασθαι εἶναι αὐτὴν καὶ βραχεῖαν καὶ μακράν, οἷον·

ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
εὗδον παννύχιοι· Δία δ᾽ οὐκ ἔχε νήδυμος ὕπνος·

ἐν μὲν γὰρ τῷ προτέρῳ μακρά ἐστιν ἡ τελευταία συλλαβή, ἐν δὲ τῷ δευτέρῳ βραχεῖα.

Hephaest. 16. 2 sqq. ὅτε μὲν οὖν ἀκατάληκτόν ἐστιν (*scil*. τὸ ἰαμβικὸν μέτρον), ἐπὶ τῆς τελευταίας τὸν ἴαμβον δέχεται μόνον ἢ πυρρίχιον διὰ τὴν ἀδιάφορον.

Hephaest. 17. 1 sqq. ἔστιν ἐπίσημον ἐν τοῖς ἀκαταλήκτοις (*scil.* ἰαμβικοῖς μέτροις) καὶ τὸ χωλὸν καλούμενον, ὅπερ τινὲς μὲν Ἱππώνακτος, τινὲς δὲ Ἀνανίου εὕρημά φασι, διαφέρει δὲ τοῦ ὀρθοῦ, ᾗ ἐκεῖνο μὲν τὸν τελευταῖον ἴαμβον ἔχει ἢ πυρρίχιον διὰ τὴν ἀδιάφορον, τοῦτο δὲ ἢ σπονδεῖον ἢ τροχαῖον.

Hephaest. 20. 18 sqq. τὸ δακτυλικὸν δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν πλὴν τῆς τελευταίας· ἐπὶ ταύτης δέ, εἰ μὲν ἀκατάληκτον εἴη, δάκτυλον ἕξει ἢ διὰ τὴν ἀδιάφορον κρητικόν.

Hephaest. 22. 18 sqq. τὰ δὲ αἰολικὰ καλούμενα τὸν μὲν πρῶτον ἔχει πόδα πάντως ἕνα τῶν δισυλλάβων ἀδιάφορον, ἤτοι σπονδεῖον ἢ ἴαμβον ἢ τροχαῖον ἢ πυρρίχιον, τοὺς δὲ ἐν μέσῳ δακτύλους πάντας, τὸν δὲ τελευταῖον πρὸς τὴν ἀπόθεσιν δάκτυλον μὲν ἢ κρητικὸν διὰ τὸ τῆς τελευταίας ἀδιάφορον, ἐὰν ἀκατάληκτον ᾖ, ἐὰν δὲ καταληκτικόν, καὶ τὰ ἀπὸ τούτου μεμειωμένα εἰς δισύλλαβον καὶ συλλαβήν.

Hephaest. 29. 3 sqq. τὸ χοριαμβικὸν συντίθεται μὲν καὶ καθαρόν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς ἰαμβικάς· ὡς ἐπίπαν δὲ ὅτε καταληκτικόν ἐστιν εἰς τὴν ἰαμβικὴν κατάκλειδα περαιοῦται, τουτέστιν εἰς ἀμφίβραχυν ἢ βακχεῖον διὰ τὴν ἀδιάφορον.

Hephaest. 43. 11 sqq. ἐπιχοριαμβικὸν μὲν οὖν τὸ σαπφικὸν καλούμενον ἑνδεκασύλλαβον, οἷον· (Sapph. 1.1. Voigt)

ποικιλόθρον᾽ ἀθανάτ᾽ Ἀφρόδιτα·

τοῦτο δὲ τὴν μὲν πρώτην συζυγίαν ἔχει τροχαϊκὴν ἑξάσημον ἢ ἑπτάσημον, τὴν δὲ δευτέραν χοριαμβικήν, τὴν δὲ κατάκλειδα ἐξ ἰάμβου καὶ τῆς ἀδιαφόρου.

Hephaest. 44. 19 sqq. ἐπιωνικὸν δὲ ἀπὸ μείζονος τρίμετρον καταληκτικόν ἐστι, τὸ καλούμενον ἀλκαϊκὸν ἑνδεκασύλλαβον, ὃ τὴν μὲν πρώτην συζυγίαν ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον ἢ ἑπτάσημον, τὴν δὲ δευτέραν ἰωνικὴν ἀπὸ μείζονος ἢ δευτέραν παιωνικήν, τὴν δὲ κατάκλειδα ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου, οἷον· (Alc. 307a Voigt)

ὦ ᾽ναξ Ἄπολλον, παῖ μεγάλω Δίος

(Alc. 331 Voigt)

Μέλαγχρος αἰδῶς ἄξιος εἰς πόλιν.

Hephaest. 45. 16 sqq. τετράμετρον δὲ καταληκτικὸν ἐπιωνικόν, ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον ἢ ἑπτάσημον, τὴν δὲ δευτέραν ἰωνικὴν ἢ

δευτέραν παιωνικήν, τὴν δὲ τρίτην τροχαϊκὴν ἑξάσημον ἢ ἑπτάσημον, εἶτα τὴν ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου κατάκλειδα, οἷον· (lyr. adesp. 21. 1. Voigt)

τοοῦτος εἰς Θήβας πάϊς ἁρμάτεσσ᾽ ὀχήμενος,

(lyr. adesp. 21. 1. Voigt)

Μᾶλις μὲν ἔννη λεπτὸν ἔχοισ᾽ ἐπ᾽ ἀτράκτῳ λίνον

Aristid. Qvint. *de mus.* I 21 (p. 44. 7 sqq. Winnington-Ingram) αὐτίκα παντὸς μέτρου τὴν τελευταίαν ἀδιάφορον ἀποφαινόμεθα μηδεμιᾶς αὐτῇ συλλαβῆς ἐπιφερομένης δι᾽ ἧς ἀφωρισμένως ἑνὸς μεγέθους αὐτὴν ἂν εἰπεῖν προσήκοι.

Aristid. Qvint. *de mus.* I 25 (p. 48. 22 sqq. Winnington-Ingram) δέχεται δὲ (*scil.* τὸ ἰαμβικὸν) ἐπὶ τελευτῆς ἐν τοῖς ἀκαταλήκτοις καὶ πυρρίχιον, σπονδεῖον δέ, ὅτε τὸ καλούμενον χωλὸν γίνεται, ἐν δὲ τοῖς καταληκτικοῖς ἀμφίβραχυν ἢ βακχεῖον διὰ τὴν ἀδιάφορον.

Choerob. 225. 6 sqq. πρόδηλόν ἐστι τὸ λεγόμενον, ἐπειδὴ λέγει παντὸς εἶναι μέτρου τὸ τέλος ἀδιάφορον, τουτέστι ἐὰν μακρὸν ἢ βραχὺ τοῦτο, ἀδιάφορον· ἰστέον ὅτι ἡ βραχεῖα ἀντὶ μακρᾶς εὑρίσκεται εὐλόγως κατὰ τὸ τέλος (βοηθεῖται γὰρ ὑπὸ τῆς σιωπῆς), παραλόγως δὲ ἡ μακρὰ ἀντὶ βραχείας παραλαμβάνεται ἐν τέλει μέτρου, ὅμως δ᾽ οὕτως ἐπεκράτησε.

Choerob. 250. 11 sqq. ἰστέον γὰρ ὅτι ἡ ἑπτάσημος τροχαϊκὴ (*scil.* συζυγία) ἐπὶ τέλους ἔχει τὸν σπονδεῖον, ὥστ᾽ εἶναι τὴν τελευταίαν τοῦ διτροχαίου ἀδιάφορον, μακρὰν καὶ βραχεῖαν· μακρὰν μέν, ὅτε ἐστὶν ἑπτάσημος, βραχεῖαν δέ, ὅτε ἑξάσημος. ἡ δὲ ἰαμβικὴ ἐκ τοῦ ἐναντίου ἐπὶ τῆς ἀρχῆς.

Choerob. 250. 20 sqq. τὴν δὲ κατακλεῖδα, τουτέστι τὴν ἐσχάτην συζυγίαν (τρίμετρον γὰρ ὑποτίθεται τὸ μέτρον), ἔχει (*scil.* τὸ σαπφικὸν καλούμενον ἑνδεκασύλλαβον) ἐξ ἰάμβου καὶ ἐσχάτης συλλαβῆς ἀδιαφόρου οὔσης, τουτέστι πῆ μὲν μακρᾶς πῆ δὲ βραχείας.

Trich. 367. 20 sqq. δέχεται δὲ τὸν πυρρίχιον ἐπὶ τέλει τὸ ἰαμβικὸν μέτρον διὰ τὸ ἀδιάφορον εἶναι παντὸς μέτρου τὴν τελευταίαν συλλαβήν, τουτέστι μακρὰν ἢ βραχεῖαν.

Trich. 377. 1 sqq. ἰστέον δέ, ὅτι ὡς ἐπὶ τοῦ ἰαμβικοῦ καὶ τοῦ τροχαϊκοῦ, οὕτως καὶ ἐπὶ τοῦ δακτυλικοῦ καὶ ἁπλῶς ἐπὶ πάντων διμέτρων ἢ τριμέτρων, καταληκτικῶν ἢ ἀκαταλήκτων καὶ τῶν λοιπῶν, παντὸς μέτρου ἡ τελευταία συλλαβὴ ἀδιάφορός ἐστι, μακρὰ ἢ βραχεῖα λαμβανομένη ἀπεριέργως. διὰ τοῦτο καὶ τὸ δακτυλικὸν ἑξάμετρον, εἰ μὲν ἀκατάληκτόν ἐστι, δάκτυλον ἢ ἀμφίμακρον τὸν τελευταῖον δέχεται πόδα, ὡς τό· ([Hom.] Od. IX 347)

Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα.

τοῦ γὰρ κρέα τὸ ʽα᾽ μακρὸν ἐκ κράσεως. εἰ δὲ καταληκτικόν, εἰ μὲν εἰς δισύλλαβον, πάλιν ἢ σπονδεῖον ἢ τροχαῖον, διὰ τὸ ἀδιάφορον ἔχειν τὴν ἐπὶ τέλους, ὡς τό· (Hes. *op*. 548sq.)

ἠῷος δ᾽ ἐπὶ γαῖαν ἀπ᾽ οὐρανοῦ ἀστερόεντος
ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις.

τὸ μὲν γὰρ πρότερον ἔπος εἰς τροχαῖον, τὸ δὲ δεύτερον εἰς σπονδεῖον ἀπαρτίζει. εἰ δὲ καταληκτικόν ἐστιν εἰς συλλαβήν, ἡ συλλαβὴ πάλιν αὕτη μακρά ἐστιν ἢ βραχεῖα διὰ τὸ ἀδιάφορον.

Trich. 384. 14 sqq. τὸ γὰρ αἰολικὸν ὡς ἔφαμεν, ἀναπαιστικὸν τὸν καταρχὰς πόδα ἴαμβον δέχεται, τοὺς δὲ ἐφεξῆς ὁμοίως τῷ ἀναπαιστικῷ σπονδείους ἢ ἀναπαίστους ἀδιαφόρως καὶ τὸν τελευταῖον σπονδεῖον ἢ τροχαῖον διὰ τὸ ἀδιάφορον, ὅτε ἐστὶ καταληκτικὸν εἰς δισύλλαβον.

App. Dion. 313. 3 sqq. ἡ δὲ ἕκτη χώρα (*scil.* τοῦ ἡρωικοῦ μέτρου) σπονδεῖον δέχεται καὶ τροχαῖον· ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή.

App. Dion. 315. 15 sqq. ἡ δὲ τρίτη χώρα (*scil.* τοῦ ἐλεγιακοῦ μέτρου) σπονδεῖον μόνον δέχεται, ἡ δὲ τετάρτη ἀνάπαιστον, ἡ δὲ πέμτη ἀνάπαιστον καὶ χορεῖον· ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία τοῦ στίχου συλλαβή.

App. Dion. 315. 19 sqq. ἔστι δὲ καὶ οὕτω μετρῆσαι (*scil.* τὸ ἐλεγιακὸν μέτρον)· τὸν πρῶτον καὶ τὸν δεύτερον πόδα χρὴ δάκτυλον ἢ σπονδεῖον ἐπιζητεῖν ἤ, καθὼς προείρηται, ἀμφίμακρον ἢ παλιμβάκχειον, θεραπευομένους καὶ καθαρούς, ἐν τάξει δακτύλου κειμένους· καὶ μετὰ τὸν ἀπαρτισμὸν τῶν δύο τούτων ποδῶν χρὴ συλλαβὴν μακρὰν ἐπιζητεῖν ἀπαρτιζομένην εἰς μέρος λόγου· καὶ μετὰ τὴν συλλαβὴν ἄλλους <δύο πόδας ἀπὸ δακτύλου μόνου κειμένους, καὶ μετὰ τούτους τοὺς δύο> πόδας ἐπιζητεῖν χρὴ καὶ συλλαβὴν αὖθις εἰς τὸ πέρας τοῦ ἐλεγειακοῦ στίχου, ἢ μακρὰν ἢ βραχεῖαν. καθὼς γὰρ εἴρηται, ἐπὶ παντὸς μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία τοῦ στίχου συλλαβή.

App. Dion. 316. 7 sqq. τὸ ἐλεγειακὸν μέτρον συνίσταται τοῦτον τὸν τρόπον· ἔστι στίχος τεμνόμενος εἰς δύο μεν πενθημιμερῆ, οἷον· (Callim. fr. 1. 2 Pfeiffer)

Νήιδες οἳ Μούσης οὐκ ἐγένοντο φίλοι.

ἀλλὰ τὸ πρότερον πενθημιμερὲς συνέστηκεν ἐκ δύο ποδῶν καὶ συλλαβῆς μακρᾶς. ἤτοι ἔχει δύο σπονδείους ἢ δύο δακτυλους ἢ σπονδεῖον καὶ δάκτυλον, ἢ δάκτυλον καὶ σπονδεῖον· κινουμένους γὰρ ἔχει τοὺς πόδας. τὸ δὲ δεύτερον πενθημιμερὲς πάντως ἔχει τοὺς δακτύλους δύο καὶ τὴν τελευταίαν συλλαβὴν ἀδιάφορον. ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβὴ ὡς ἐπὶ τὸ πλεῖστον ὡς καὶ ἡ πρώτη.

App. Dion. 317. 5 sqq. ἑτέρως περὶ τῶν ἀνακρεοντείων. ἡ πρώτη χώρα δέχεται ἀνάπαιστον, ἡ δευτέρα ἴαμβον, ἡ τρίτη ἴαμβον, ἡ τετάρτη ἀδιάφορον· οἷον· (Sophron. Anacr. 5. 1 [PG LXXXVII 3, col. 3756] Migne)

ἀπὸ τῆς φίλης ἐρήμου.

App. rhet. 340. 6 sqq. ἡ δὲ ἕκτη χώρα (*scil.* τοῦ ἡρωικοῦ μέτρου) σπονδεῖον δέχεται, [ἐνίοτε δὲ] καὶ τροχαῖον· ἐπὶ παντὸς μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία [τοῦ ποδὸς] συλλαβή.

App. rhet. 343. 13 sqq. ἔστιν ὁ στίχος τοῦ Ἀνακρέοντος οὗτος· ἡ πρώτη χώρα ἐξ ἀναπαίστου, ἡ δευτέρα καὶ τρίτη ἐξ ἰάμβου, ἡ τετάρτη μονοσύλλαβος καὶ ἀδιάφορος· (Sophron. *Anacr.* 5. 1 [PG LXXXVII 3, col. 3756 Migne])

ἀπὸ τῆς φίλης ἐρήμου.

Epit. Hephaest. 360. 8 sqq. τὸ χοριαμβικὸν συντίθεται μὲν καὶ καθαρόν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς ἰαμβικάς· ὡς ἐπίπαν δέ, ὅτε καταληκτικόν ἐστιν, εἰς κατάληξιν περαιοῦται ἰαμβικήν, <ἤγουν> ἢ εἰς ἀμφίβραχυν ὡς· (Aristoph. fr. 9. 1 [PCG III 2, p. 39] Kassel-Austin)

οὐκ ἐτὸς ὦ γυναῖκες·

ἢ εἰς βακχεῖον διὰ τὴν ἀδιάφορον, ὡς· (Anacr. 37 [PMG 382] Page)

δακρυόεσσάν τ᾽ ἐφίλησεν αἰχμάν·

ἢ εἰς δάκτυλον ἢ εἰς κρητικὸν διὰ τὸ ἀδιάφορον τῆς τελευταίας ὡς· (mel. adesp. 57 [PMG 975] b Page)

οὐδὲ λεόντων σθένος οὐδὲ τροφαί.

Epit. Hephaest. 362. 12 sqq. δέχεται τὸ πινδαρικὸν ἐπιχοριαμβικὸν κατὰ τὴν πρώτην χώραν ἀντίσπαστον, κατὰ τὴν δευτέραν χορίαμβον, κατὰ τὴν πρώτην χώραν ἀντίσπαστον, κατὰ τὴν δευτέραν χορίαμβον, κατὰ τὴν τρίτην ἴαμβον καὶ συλλαβὴν ἀδιάφορον, ὡς εἶναι τὸ ὅλον ἑνδεκασύλλαβον, οἷον· (Pind. fr. 94c Maehler)

ὁ Μουσαγέτας με καλεῖ χορεῦσαι.

Anon. GG I 1, 122. 9 sqq. Vhlig ἡ δὲ ἕκτη χώρα (*scil.* τοῦ ἡρωικοῦ μέτρου) σπονδεῖον δέχεται καὶ τροχαῖον. ἐπὶ παντὸς μέτρου ἀδιάφορος ἐστιν ἡ τελευταία συλλαβή.

Anon. GG I 1, 122. 13 sqq. Vhlig. ὁ ἴαμβος ἓξ χώρας ἐπιδέχεται. τὰς μὲν πέντε συγκειμένας ἔχει ἐκ σπονδείου καὶ δακτύλου καὶ ἀναπαίστου καὶ χορείου καὶ ἰάμβου. ὁ μὲν πρῶτος καὶ τρίτος καὶ πέμπτος ποὺς ἐπιδέχεται τούτων τὸν ἐμπίπτοντα. ὁ δὲ δεύτερος καὶ τέταρτος ποὺς τοὺς ἀπὸ βραχείας ἀρχομένους ἐπιδέχονται. οὗτοι δέ εἰσιν ἴαμβος, χορεῖος, ἀνάπαιστος. ἡ δὲ ἕκτη χώρα ἐπὶ παντὸς μέτρου ἀδιάφορός ἐστιν.

Anon. Vat. 192 ἀναπαιστικὸν δὲ μέτρον ἐστὶ τὸ δεχόμενον κατὰ πᾶσαν χώραν ἀδιαφόρως σπονδεῖον καὶ ἀνάπαιστον πλὴν πολλάκις τῆς τελευταίας συλλαβῆς διὰ τὸ ταύτης ἀδιάφορον. σπανίως δὲ δέχεται τὸ ἀναπαιστικὸν μέτρον προκελευσματικὸν τετράβραχυν διαιρουμένου τοῦ ἐν τῷ ἀναπαίστῳ ἑνὸς μακροῦ εἰς δύο βραχεῖα, ὡς τίθεναι καὶ ὅλον στίχον ἐξ ἀναπαίστων διαλελυμένων ἤτοι προκελευσματικῶν. συμπτυσομένων δὲ πάλιν τῶν τοῦ ἀναπαίστου δύο βραχέων εἰς μίαν μακρὰν γίνονται σύμπτυσται ἀνάπαιστοι, τὸ ὅλον σπονδιακόν. δέχεται δὲ ἔστιν ὅτε καὶ τὸν τελευταῖον πόδα βακχεῖον ἢ καὶ ἰαμβικὴν κατακλεῖδα διὰ τὸ τῆς τελευταίας ἀδιάφορον καὶ ὀνομάζεται τὸ μέτρον λογαιοδικὸν ὥσπερ ἐν τῷ δακτυλικῷ τὸ δεχόμενον ἐν τῷ τέλει τροχαικὴν συζυγίαν. ἐν δὲ τοῖς ἀναπαιστικοῖς στίχοις τοῦ Ἀριστοφάνους εὕρηνται καὶ δάντυλοι (ἔτι τε καὶ ἐν τοῖς τραγικοῖς *add.* $m^2$). γίνωσκε δὲ ὅτι ἐν τῷ ἀναπαιστικῷ μέτρῳ ὡς βούλει λαμβάνεις τοὺς πόδας, ἢ τοὺς δύο πόδας ἀντὶ ἑνὸς μέτρου καὶ συζυγίας μιᾶς ἢ ἕκαστον πόδα ἀντὶ μέτρου καὶ συζυγία ὥσπερ ἐν τῷ δακτυλικῷ.

Schol. vet. in Pind. *Ol.* 1 (I, p. 15. 14 sqq. Drachmann) τὸ ιβʹ ἐπιωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου· τὴν δὲ κατακλεῖδα ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου. τὸ ιγʹ χοριαμβικὸν δίμετρον καταληκτικὸν εἰς ἰαμβικὴν κατακλεῖδα περαιούμενον, τουτέστιν εἰς ἀμφίβραχυν ἢ βακχεῖον διὰ τὸ ἀδιάφορον τῆς τελευταίας.

Schol. rec. in Pind. *Ol.* 1 (p. 45. 19 sqq. Abel) τὸ γʹ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς ἐκ παίωνος τετάρτου καὶ βακχείου ἢ ἀμφιβράχεος διὰ τὴν ἀδιάφορον.

Schol. rec. in Pind. *Ol.* 1 (p. 46. 11 sqq. Abel) τὸ ηʹ τροχαικὸν μονόμετρον

ὑπερκατάληκτον. ἐμοὶ δὲ καὶ ἀντισπαστικὸν δοκεῖ ἡμιόλιον ἐκ τροχαικῆς συζυγίας καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον.

Schol. rec. in Pind. *Ol.* 1 (p. 48. 16 sqq. Abel) τὸ ϛʹ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου, διϊάμβου καὶ αὖθις ἀντισπάστου ἢ διϊάμβου ἢ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον.

Schol. rec. in Pind. *Ol.* 2 (p. 104. 13 sqq. Abel) τὸ γʹ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, πλὴν ὁ αʹ ἀντίσπαστος διαλύεται εἰς βʹ βραχείας καὶ μακρὰν αʹ, καὶ ἡ κατακλεὶς ἰαμβική. ἐμοὶ δὲ δοκεῖ ὡς Ἰωνικόν ἐστι δίμετρον ἀκατάληκτον τῆς αʹ μακρᾶς τοῦ ἰωνικοῦ διαλυθείσης εἰς βʹ βραχείας, τοῦ δὲ βʹ ποδὸς παίωνος ὄντος βʹ ἀντὶ Ἰωνικοῦ, ἔν τισι δὲ καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον.

Schol. rec. in Pind. *Ol.* 2 (p. 105. 13 sqq. Abel) τὸ ιʹ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν· τετρασύλλαβοι γὰρ οἱ πόδες. ἡ τελευταία ἀδιάφορος· ἔν τισι μὲν γάρ ἐστιν ὁ βʹ ποὺς τρίβραχυς, ἔν τισι δὲ ἀνάπαιστος.

Schol. rec. in Pind. *Ol.* 4 (p. 170. 13 sqq. Abel) τὸ γʹ ἰθυφαλλικόν, ἤτοι τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. τοῦτο δὲ καὶ ἡμιόλιον λέγεται, ὡς ἔχον τὴν συζυγίαν τῶν ποδῶν καὶ τὸ ἥμισυ ταύτης. ἡ τελευταία ἀδιάφορος.

Schol. rec. in Pind. *Ol.* 5 (p. 183. 3 sqq. Abel) τὸ ζʹ ἰθυφαλλικόν· γʹ γάρ εἰσι τροχαῖοι. εἰ δέ που καὶ σπονδεῖος ἐν τῷ τέλει εὕρηται, οὐκ ἔξω λόγου. ὅ τε γὰρ ποὺς οἰκεῖος τῷ μέτρῳ, καὶ τὴν τελευταίαν φασὶν ἀδιάφορον εἶναι τῶν κώλων.

Schol. rec. in Pind. *Ol.* 9 (p. 310. 9 sqq. Abel) τὸ γʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται φαλαίκειον· Φάλαικος γὰρ τούτου εὑρετής, ἔχει δὲ τὴν μὲν αʹ συζυγίαν ἀντισπαστικὴν ἢ καθαρὰν ἢ τρεπομένην εἰς τὰ δʹ τοῦ δισυλλάβου σχήματα, ὡς Ἡφαιστίων (31. 16 sqq.) φησί, τὴν δὲ βʹ ἰαμβικήν, τὴν δὲ τελευταίαν ἀδιάφορον ἢ τροχαϊκὴν ἢ ἰαμβικήν.

Schol. rec. in Pind. *Ol.* 10 (p. 344. 4 sqq. Abel) τὸ ζʹ προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ ἡμίσεος ποδὸς ἀδιαφόρου.

Schol. rec. in Pind. *Ol.* 13 (p. 384. 9 sqq. Abel) τὸ ηʹ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἔχει δὲ ἔν τισι μὲν τοὺς χοριάμβους καθαρούς, ἔν τισι δὲ ἰαμβικὴν ἢ τροχαϊκὴν συζυγίαν καὶ τὴν κατάληξιν ὡσαύτως ἀδιάφορον.

Schol. rec. in Pind. *Ol.* 13 (p. 384. 13 sqq. Abel) τὸ ιʹ τροχαϊκὸν ἑφθημιμερὲς εὐριπίδειον ἐκ δακτύλου ἀρχόμενον. ἐμοὶ δὲ δοκεῖ προσοδιακὸν εἶναι ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἢ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον.

Schol. rec. in Pind. *Ol.* 14 (p. 420. 13 sqq. Abel) τὸ ζʹ, ὡς ἐμοὶ δοκεῖ, ἀσυνάρτητόν ἐστιν ἐκ παιωνικοῦ κρητικοῦ διμέτρου ἀκαταλήκτου καὶ ἀντισπαστικοῦ διμέτρου βραχυκαταλήκτου, ἢ κατὰ συνίζησιν τῆς τελευταίας πενθημιμεροῦς, ὃ καλεῖται δοχμιακόν, τὸ ἀντισπαστικὸν δηλονότι. εἰ δὲ βούλει, ἀντισπαστικὸν ἔστω τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου δευτέρου, διϊάμβου καὶ παίωνος αʹ διὰ τὴν ἀδιάφορον.

Schol. vet. in Pind. *Pyth.* 1 (p. 14. 16 sq. Tessier) τὸ γʹ προσοδιακὸν δίμετρον ἀκατάληκτον, τῆς τελευταίας ἀδιαφόρου οὔσης.

Schol. in Aesch. *Pers.* 102 (p. 35. 22 sqq. Massa Positano) + τὸ εʹ ὅμοιον ἰω-

νικὸν τρίμετρον καταληκτικόν, ἐκ δύο ἰωνικῶν ἀπ᾽ ἐλάττονος καὶ κρητικοῦ· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς δάκτυλον ἔχει ἀντὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον.

SCHOL. in Aesch. *Pers.* 125 (p. 37. 20 sqq. Massa Positano) + τὸ ϛʹ δακτυλικὸν πενθημιμερές, εἰ δὲ βούλει, χοριαμβικὸν δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον.

SCHOL. in Aesch. *Pers.* 256 (p. 42. 30 sqq. Massa Positano) + ὡς εἴρηται, ἀλλοιόστροφα· ἔστι δὴ τῆς παρούσης στροφῆς τὰ κῶλα δʹ· τὸ αʹ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἐκ χοριάμβου ἑξασυλλάβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον ἢ χορείου.

SCHOL. in Aesch. *Pers.* 568 (p. 52. 20 sqq. Massa Positano) + τὸ ζʹ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον, εἰ δὲ βούλει τροχαικὸν ἰθυφαλικὸν τοῦ πρώτου ποδὸς δακτύλου.

SCHOL. in Aesch. *Pers.* 584 (p. 53. 22 sqq. Massa Positano) + τὸ εʹ καὶ τὸ ϛʹ ἀντισπαστικὰ δίμετρα καταληκτικὰ ἃ καλεῖται φερεκράτεια, ἐξ ἐπιτρίτου δʹ καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον, εἰ δὲ βούλει δακτυλικὰ τρίμετρα καταληκτικὰ εἰς δισύλλαβον.

SCHOL. in Aesch. *Pers.* 633 (p. 54. 27 sqq. Massa Positano) + τὸ ζʹ περίοδος καταληκτικὸς ἐκ τροχαικῆς συζυγίας καὶ ἰαμβικῆς καταληκτικῆς, εἰ δὲ βούλει ἰωνικὸν δίμετρον καταληκτικὸν, ἐκ διτροχαίου, ἀντὶ ἰωνικοῦ, καὶ βακχείου διὰ τὴν ἀδιάφορον.

SCHOL. in Aesch. *Pers.* 657 (p. 56. 24 sqq. Massa Positano) + τὸ δʹ ὅμοιον τῷ πρώτῳ, ἐξ ἀντισπάστου καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον.

SCHOL. in Aesch. *Pers.* 657 (p. 57. 2 sqq. Massa Positano) + τὸ ηʹ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον τοῦ βʹ ποδὸς προκελευσματικοῦ ἤτοι τετραβράχεος, εἰ δὲ βούλει παιωνικὸν τρίμετρον καταληκτικόν, ἐκ παίωνος πρώτου καὶ δʹ καὶ μολοσσοῦ ἢ παλιμβακχείου διὰ τὴν ἀδιάφορον.

SCHOL. in Aesch. *Pers.* 672 (p. 57. 16 sqq. Massa Positano) + τὸ δʹ <ἰωνικὸν> ἀπ᾽ ἐλάττονος <δίμετρον> καταληκτικόν, <ἐξ ἰωνικοῦ> καὶ χορείου ἢ ἀ<ναπαίστου> διὰ τὴν ἀδιάφορον.

SCHOL. in Aesch. *Pers.* 672 (p. 57. 18 sq. Massa Positano) + τὸ εʹ ὅμοιον δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ καὶ διιάμβου διὰ τὴν ἀδιάφορον.

SCHOL. in Aesch. *Pers.* 672 (p. 57. 20 sqq. Massa Positano) + τὸ ηʹ προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος διὰ τὴν ἀδιάφορον· εἰ δὲ βούλει δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον.

SCHOL. in Aesch. *Pers.* 858 (p. 64. 11 sqq. Massa Positano) + τὸ βʹ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ καὶ διιάμβου διὰ τὴν ἀδιάφορον· τὸ αὐτὸ δ᾽ ἂν εἴη καὶ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον εἰς δισύλλαβον.

SCHOL. in Aesch. *Prom.* 128 (p. 11 Smyth) + τὸ αʹ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου . . . τὸ εʹ ὅμοιον τῷ αʹ, ἐκ διιάμβου καὶ χοριάμβου διὰ τὴν ἀδιάφορον.

SCHOL. in Aesch. *Prom.* 159 (p. 14 Smyth) + τὸ δʹ ἰωνικὸν ἢ παιωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ δύο παιώνων $β^{τέρων}$ καὶ συλλαβῆς ἀδιαφόρου. τὸ

ε′ παιωνικὸν καθαρὸν ἡμιόλιον, ἐκ παίωνος δ′ καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον ἢ πυρρίχου.

Schol. in Aesch. *Prom.* 425 (p. 34 Smyth) + τὸ ε′ ὅμοιον τρίμετρον βραχυκατάληκτον, ἐκ διϊάμβου παίωνος γ′ ἀντὶ ἰωνικοῦ καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον· εἰ δὲ βούλει, ἀσυνάρτητον ἐξ ἰαμβικῆς καὶ ἀναπαιστικῆς συζυγίας.

Schol. in Aesch. *Prom.* 526 (p. 41 Smyth) + τὸ ϛ′ χοριαμβικὸν τρίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου $β^{τέρου}$ ἢ διτροχ<αίου> χοριάμβου καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον· ἐν δὲ τῷ τῆς ἀντιστροφῆς κώλῳ χοριάμβους εὑρήσεις, καὶ ἀμφότερον.

Schol. in Aesch. *Prom.* 561 (p. 45 Smyth) + τὸ $κβ^{τερον}$ ἀντισπαστικὸν γλυκώνειον δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *Prom.* 593 (p. 48 Smyth) + τὸ ζ′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον γλυκώνειον, ἐξ ἀντισπάστου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *Prom.* 593 (p. 48 Smyth) + τὸ ιβ′ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον καταληκτικόν, ἐξ ἐπιτρίτου τρίτου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *Prom.* 887 (p. 69 Smyth) + τὸ α′ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον, ἢ δακτυλικὸν πενθημιμερές.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 49. 22 sq. Smith) + τὸ ιβ′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, παίωνος δευτέρου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 49. 36 sq. Smith) + τὸ κζ′ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ, καὶ διιάμβου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 50. 6 sq. Smith) + τὸ λγ′ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος πρώτου κατὰ συνίζησιν καὶ διιάμβου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 50. 9 sqq. Smith) + τὸ λϛ′ ἀντισπατισκὸν τρίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου, ἀντισπάστου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 50. 13 sq. Smith) + τὸ μ′ δακτυλικὸν πενθημιμερές· εἰ δὲ βούλει, χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιαφόρον.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 50. 27 sq. Smith) + τὸ νὰ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τρίτου, ἀντισπάστου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 150-157b (II 2, p. 80. 17 sqq. Smith) + τὸ θ′ ὅμοιον ἐξ ἐπιτρίτου δευτέρου ἤτοι τροχαικῆς συζυγίας καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον ἢ χορείου.

Schol. in Aesch. *sept.* 166-172b (II 2, p. 88. 3 sq. Smith) + τὸ α′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐκ διιάμβου καὶ δακτύλου ἢ κρητικοῦ διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 166-172b (II 2, p. 88. 5 sqq. Smith) + τὸ γʹ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον καταληκτικὸν ἐκ διτροχαίου καὶ χορείου ἢ ἀναπαίστου διὰ τὴν ἀδιάφορον· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον συνίζησιν ἔχει ἐν τῷ δευτέρῳ ποδί.

Schol. in Aesch. *sept.* 287-303b (II 2, p. 139. 36 sqq. Smith) + τὸ αʹ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐκ διιάμβου, ἐπιτρίτου δευτέρου καὶ ἰάμβου ἢ πυρριχίου διὰ τὴν ἀδιάφορον. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον κοινὴν ἔχει συλλαβὴν κατὰ τὸν πρῶτον πόδα.

Schol. in Aesch. *sept.* 287-303b (II 2, p. 140. 13 sq. Smith) + τὸ ιβʹ ὅμοιον ἐκ διτροχαίου καὶ βακχείου ἢ ἀμφιβράχεος διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 321-332b (II 2, p. 152. 32 sqq. Smith) + τὸ γʹ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου καὶ διιάμβου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐκ διτροχαίου καὶ διιάμβου σύγκειται διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 345-356b (II 2, p. 163. 32 sqq. Smith) + τὸ εʹ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου, τὸ δὲ τῆς ἀντιστροφῆς κῶλον διτρόχαιον ἔχει καὶ ἀμφίβραχυν διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 345-356b (II 2, p. 164. 4 sqq. Smith) + τὸ ιγʹ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου πρώτου, διιάμβου καὶ πυρριχίου ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον δισπόνδειον ἔχει ἀντ᾽ ἐπιτρίτου.

Schol. in Aesch. *sept.* 481-485d (II 2, p. 218. 16 sqq. Smith) + τὸ δʹ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἢ προσοδιακὸν ἐκ χοριάμβου καὶ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος, ἢ ἰωνικοῦ διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 521-525e (II 2, p. 238. 3 sq. Smith) + τὸ μέντοι πρῶτον κῶλον τὸν δεύτερον ἔχει πόδα χορίαμβον, τὸν δὲ τρίτον ἀνάπαιστον διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 720-726b (II 2, p. 313. 35 sq. Smith) + τὸ ϛʹ ὅμοιον ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ δύο ἰωνικῶν ἀπ᾽ ἐλάττονος καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 888-893b (II 2, p. 372. 24 sqq. Smith) + τὸ αʹ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, διτροχαίου καὶ συλλαβῆς, τὸ τῆς ἀντιστροφῆς δὲ κῶλον ἐπιτρίτους ἔχει ἀντὶ τούτων ... (28 sqq.) εἰ δὲ τὰ τῆς ἀντιστροφῆς κῶλα οὐχ ὁμοίους ἔχει πόδας – τὸ μὲν γὰρ ἔχει πρῶτον ἐπίτριτον, τὸ δὲ ἀντίσπαστον καὶ τροχαῖον, εἰ βούλει, ἢ ἴαμβον διὰ τὴν ἀδιάφορον – οὐδὲν θαυμαστόν· τῷ αὐτῷ γάρ εἰσι καὶ οὗτοι οἰκεῖοι μέτρῳ.

Schol. in Aesch. *sept.* 900-906c (II 2, p. 376. 21 sq. Smith) + τὸ ζʹ χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 915-921d (II 2, p. 381. 14 sq. Smith) τὸ βʹ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 941-946d (II 2, p. 387. 21 sqq. Smith) + τὸ αʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ διιάμβου, διτροχαίου καὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον, ἢ δακτυλικὸν ὃ καλεῖται φαλαίκειον.

Schol. in Aesch. *sept.* 966-974b (II 2, p. 394. 1 sqq. Smith) + τὸ ϛʹ καὶ ζʹ χοριαμβικὰ ἡμιόλια ἐκ χοριάμβου καὶ πυρριχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον· εἰ δὲ βούλει, δακτυλικὰ δίμετρα καθαρά.

Schol. in Aristoph. *av.* 451a (p. 77 Holwerda) Tr ὁ αʹ ἀσυνάρτητος ἐξ ἀναπαιστικῶν διμέτρον βραχυκατάληκτων, καὶ ἰαμβικῆς βάσεως διὰ τὴν ἀδιάφορον Lh.

Schol. in Aristoph. *av.* 936a (p. 147 Holwerda) Tr τόδε μὲν οὐκ ἀέκουσα] ἡ δʹ περίοδος κῶλον ἐστὶ παιωνικῶν ἐπιμεμιγμένων κρητικοῖς ἤτοι ἀμφιμάκροις καὶ παλιμβακχείοις δʹ ... τὸ γʹ δίμετρον ἀκατάληκτον διὰ τὴν ἀδιάφορον Lh.

Schol. in Aristoph. *av.* 1262a (p. 186 Holwerda) Tr τὸ δὲ ϛʹ δίμετρον (*scil.* παιωνικόν) ἀκατάληκτον διὰ τὴν ἀδιάφορον Lh.

Schol. rec. in Aristoph. *nub.* 222-223 (p. 38 Koster) Tr$^{1}$ ἰωνικὸς ἀπὸ μείζονος τρίμετρ<ος> βραχυκατάληκτος ἐκ δύο ἰωνικῶν ἀπὸ μείζονος καὶ τροχ<αί-ου> διὰ τὴν ἀδιάφορον.

Schol. Ald. in Aristoph. *nub.* 510a (p. 270. 9 sqq. Koster) τὶ τρίτον καὶ τὸ ἑξῆς καὶ τὸ ἕβδομον καὶ τὸ μετ᾽ αὐτὸ χοριαμβικὰ δίμετρα καταληκτικὰ εἰς ἀμφίβραχυν περαιούμενα ἢ βακχεῖον διὰ τὸ ἀδιάφορον, ἀριστοφάνεια καὶ αὐτὰ καλούμενα.

Schol. rec. in Aristoph. *nub.* 563c. 12 sqq. (p. 89 Koster) Tr$^{1}$ τὸ ιʹ ‘τὸν θ᾽ ἱππονώμαν ὃς ὑπερ-᾽ δίμετρον ἐκ τρίτου ἐπιτρίτου – – ⏑ – καὶ παιῶνος [πρώτου] καὶ χοριάμβου διὰ τὴν ἀδιάφορον.

Schol. rec. in Aristoph. *nub.* 700a. 8 sq. (p. 107 sq. Koster) Tr$^{1}$ τὸ εʹ ‘ἐς ἄλλο πήδα νόημα φρενός᾽ ὅμοιον ἐκ διιάμβου, διτροχαίου καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον.

Schol. Ald. in Aristoph. *nub.* 804a (p. 274. 9 sqq. Koster) τὸ πέμπτον (*scil.* τροχαικὸν δίμετρον) ... ἀκατάληκτον ἀδιαφόρου τῆς τελευταίας οὔσης.

Schol. rec. in Aristoph. *nub.* 949a. 11 sqq. (p. 133 Koster) Tr$^{1}$ τὸ ζʹ ‘νῦν γὰρ ἅπας ἐνθάδε κίνδυνος᾽ ὅμοιος τρίμετρος βραχυκατάληκτος ἐκ βʹ χοριάμβων καὶ σπονδείου· ἀδιάφορος γάρ ἐστιν ὁ τελευταῖος ποὺς εἰς πάντα ... τὸ ιʹ ‘ἔστιν ἀγὼν μέγιστος᾽ ὅμοιον δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου διὰ τὴν ἀδιάφορον ἑφθημιμερές.

Schol. rec. in Aristoph. *nub.* 1024a. 13 sqq. (p. 147 Koster) Tr$^{1}$ τὸ θʹ ‘ἔοικε δεῖν πρὸς αὐτὸν᾽ ἑφθημιμερὲς ἐκ διιάμβου καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον.

Schol. rec. in Aristoph. *nub.* 1154a. 9 sq. (p. 162 Koster) Tr$^{1}$ τὸ ηʹ ‘λάμπων πρόβολος ἐμός᾽ ἰωνικὸν ἑφθημιμερὲς ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον.

Schol. rec. in Aristoph. *nub.* 1206a. 2 sqq. (p. 169 Koster) Tr$^{1}$ τὸ πρῶτον ‘μάκαρ ὦ Στρεψίαδες᾽ ἰωνικὸν ἀπ᾽ ἐλάσσονος ⏑ ⏑ – – δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος ⏑ ⏑ – – καὶ χορείου τριβράχεος ἢ ἀναπαίστου διὰ τὴν ἀδιάφορον· εἰ δὲ βούλει, ἀναπαιστικὸν πενθημιμερές.

Schol. rec. in Aristoph. *nub.* 1206a. 4 sqq. (p. 169 Koster) Tr$^{1}$ τὸ βʹ ‘αὐτός τ᾽ ἔφ<υς> ὡς σοφὸς ἰαμβικὸν δίμετρον καταληκτικὸν ἀ<συν>άρτη<τον> ἐξ

ἰαμβικῆς βάσεως ἤτοι μονομέτρου ἰαμβικοῦ καὶ τροχαικῆς κατακλεῖδος ἤτοι τροχαίου καὶ μιᾶς συλλαβῆς ἀδιαφόρου· αἱ γὰρ λήξεις τῶν μέτρων πάντων ἀδιάφοροι.

SCHOL. REC. in Aristoph. *nub*. 1303a. 6 sqq. (p. 179 Koster) Tr[1] τὸ δʹ ʻτὰ χρήμαθʼ ἁδανείσατοʼ ὅμοιον δίμετρον ἐκ διιάμβου ἢ ἐπιτρίτου γʹ καὶ διιάμβου πάλιν διὰ τὴν ἀδιάφορον.

SCHOL. REC. in Aristoph. *nub*. 1303a. 21 sqq. (p. 179 Koster) Tr[1] τὸ ιδʹ ʻὥστε νικᾶν ἅπαντας' ὅμοιον δίμετρον ἐξ ἐπιτρίτου βʹ καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον … (24 sq.) τὸ ιςʹ ʻκἂν λέγῃ παμπόνηρα' ὅμοιον δίμετρον ἐξ ἐπιτρίτου βʹ καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον.

SCHOL. in Callim. fr. 228. 1 Pfeiffer τὸ μ(ὲν) μέτ(ρον) ἀρχεβούλ(ειον) λογαοιδ(ικὸν) καλ(εῖται)· πεντάμετρον· ἡ αʹ ἐπιδέχετ(αι) ἀνάπαιστ(ον), σπονδεῖ(ον), ἴαμβ(ον), αἱ ἑξῆς ἀναπαίστ(ους), ἡ ἐσχάτ(η) βακχεῖον κ(αὶ) ἀμφίβραχυν, ἐπεὶ ἀδιάφορ(ος) ἡ τελευτ(αία) συλλαβή.

SCHOL. A in Hephaest. 114. 21 sqq. τοὺς στρατηγοὺς διασύρει ὡς πολλὰ βουλευομένους. τοῦτο καὶ χωλὸν γίνεται τῆς τελευταίας συλλαβῆς μὴ ληγούσης· τότε γὰρ ἀδιάφορον ἐστιν, ὅτε λήγει.

SCHOL. A in Hephaest. 116. 20 ἀδιάφορα γὰρ τὰ τέλη, ὡς εἴρηται.

SCHOL. A in Hephaest. 127. 16 sqq. πᾶν γὰρ ἔπος ἑξάμετρον (*scil*. δακτυλικόν) καταληκτικόν ἐστι εἰς δύο συλλαβὰς τῆς τελευταίας ἀδιαφορούσης μεταξὺ μακρᾶς ἢ βραχεῖας· κἂν μακρὰ δὲ ᾖ, ἀντὶ βραχείας παραλαμβάνεται. ἡ δευτέρα τοῦ δακτύλου βούλεται σώζεσθαι, ἡ μετὰ τὴν μακράν, βραχεῖα· ὥστε ὅτε μακρόν ἐστιν, ἀντὶ βραχείας παρελήφθη διὰ τὸ ἀδιάφορον εἶναι τὴν τελευταίαν.

SCHOL. A in Hephaest. 137. 10 sqq. ἐπίμικτα καλεῖ τὰ ἔχοντα ἐπιμίκτους συζυγίας· ἐπίμικτα δὲ καθὸ καὶ καθʼ ἑαυτὸν μικτὸς ὁ χορίαμβος, ὡς καὶ οἱ ἄλλοι τετρασύλλαβοι, ἐκ δύο ποδῶν ἁπλῶν ὄντες. εἰ οὖν καθʼ ἑαυτὸν μικτός, ἄλλον προσλαβὼν ἐπίμικτος ἔσται. (15 sqq.) ἡ γὰρ τελευταία ἀδιάφορος οὖσα ἅμα τῷ ἰάμβῳ βακχεῖον ποιεῖ, ὅτε μακρά ἐστιν, ἢ ἀμφίβραχυν, ὅτε βραχεῖά ἐστιν.

SCHOL. B in Hephaest. 273. 25 sqq. τὸ δὲ δακτυλικὸν αἰολικὸν κατὰ μὲν τὰς ἄλλας χώρας πάσας ἐπιδέχεται ὡσαύτως τῷ κοινῷ τούς τε δακτύλους καὶ σπονδείους [ὁμοίως καὶ κατὰ τὰς ἀποθέσεις], τὸν δὲ πρῶτον πόδα ἔχει ἕνα τῶν δισυλλάβων ἀδιάφορον. ὅτε μὲν οὖν ἐστιν ἀκατάληκτον, δάκτυλον ἢ ἀμφίμαρκον ἔχει τὸν τελευταῖον πόδα· ἐὰν δὲ καταληκτικόν, εἰς δισύλλαβον μέν, σπονδεῖον ἢ τροχαῖον ἔχει τὸν τελευταῖον· εἰς συλλαβὴν δέ, ἀδιάφορον.

SCHOL. B in Hephaest. 276. 10 sqq. ἔστι δὲ καὶ λογαοιδοκὸν ἀναπαιστικόν, ὅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις τοὺς αὐτοὺς ἐπιδέχεται πόδας τῷ ἀναπαιστικῷ καθαρῷ, ἐν δὲ τῷ τέλει ἴαμβον καὶ συλλαβὴν ἀδιάφορον, τουτέστιν ἢ βακχεῖον ἢ ἀμφίβραχυν.

